Ακαδημία Αθηνών / Academy of Athens



*ΠΑΤΡΙΑΡΧΙΚΗ ΑΠΟΦΑΣΗ ΑΡΣΕΩΣ ΑΦΟΡΙΣΜΟΥ Ο ΟΠΟΙΟΣ ΕΙΧΕ ΕΠΙΒΛΗΘΕΙ ΛΟΓΩ ΙΔΙΟΠΟΙΗΣΕΩΣ ΚΛΗΡΟΝΟΜΙΑΙΑΣ ΠΕΡΙΟΥΣΙΑΣ*

*1620, Μαΐου*

*«† Τιμόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικός πατριάρχης*

*† Ἱερώτατε μητροπολῖτα Ῥόδου, ὑπέρτιμε καὶ ἔξαρχε τῶν Κυκλάδων νήσων, ἐν ἁγίῳ πνεύματι ἀγαπητέ ἀδελφέ καί συλλειτουργέ, καί ἐντιμότατοι κληρικοί, καί ἄρχοντες χρήσιμοι, χάρις εἴη ὑμῖν καί εἰρήνη ἀπό Θεοῦ. Γνωρίζομεν καί πιστοῦμεν πᾶσιν ὑμῖν ὅτι ἀπ᾽ αὐτόθι σωματικῶς παραγενόμενος ἐνταῦθα πρός ἡμᾶς, χρησιμώτατος ἄρχων κῦρ Μάρκος, συνοδικῶς παραστάς, οὐ μόνον ἀπό τῆς διαθήκης τοῦ ἀποθανόντος θείου αὐτοῦ Μανουήλ Κιαβαρῆ, οὔσης ἐν αὐτῇ καί τῆς σῆς ἱερώτητος ὑπογεγραμμένης καί ἄλλων τινῶν ἱερωμένων καί λαϊκῶν, ἐπιστώσατο ἡμῖν ὡς μηδόλως λαβών τί εἰς κληρονομίαν, ἀπό τῆς κληρονομίας καί περιουσίας ἐκείνου, ἢ λεγάτου χάριν, πλήν τῶν ὧν ἠγόρασε δι᾽ ἰδίων αὐτοῦ χρημάτων, καθώς πλατύτερον φαίνονται ἐν τῇ προειρημένῃ διαθήκῃ, ἀλλά καί ἀπό τοῦ θείου καί ἱεροῦ εὐαγγελικοῦ ὅρκου, ὅν ἐδέξατο παῤῥησίᾳ ἐπ᾽ ἐκκλησίας, ἐπεδείξατο ἑαυτόν ἀθῶον καί ἀνεύθυνον, εἰπών, ὡς ὅλως οὔτε μετά τήν διαθήκην ἐκείνου οὔτε μετά τον θάνατον ἥρπασεν ἢ εὗρε παρακαταθήκην ἐκείνου φλωρίων, ἢ γροσίων καί ἄσπρων καί σαχίων, ἢ μαργαριτάρια καί μαλάματα ἤδη καί ἀσιμικά καί ῥουχικά καί χαλκοματικά καί ἄλλα κτήματα καί πράγματα. Καί διά τοῦτο κοινῇ γνώμῃ συνοδικῇ, συνεχωρήσαμεν αὐτῷ πανοικεσίᾳ, καί λύσαμεν τοῦ δεσμοῦ τοῦ δεσμοῦ τοῦ ἀφορισμοῦ. Καί γράφομεν, καί ἀποφαινόμεθα ἐν ἁγίῳ πνεύματι, ἵνα ἀπὸ τοῦ νῦν καί εἰς τό ἑξῆς, ὡς ἀνεύθυνος καί ἀναίτιος φανείς διά τοῦ ὅρκου ὁ αὐτός ἄρχων κῦρ Μάρκος εἴη συγκεχωρημένος καί εὐλογημένος ἀπό Θεοῦ παντοκράτορος, σύν γυναικί καί τέκνοις, καί πᾶσι τοῖς οἰκιακοῖς αὐτοῦ, καί λελυμένος τοῦ οὗ ἐδεσμεῖτο ἀφορισμοῦ, καί ἐκκλησιάζωνται ἁπαξάπαντες καί ἁγιάζωνται ἀπολύτως. Ὁμοίως καί οἱ συλλαλήσαντες αὐτῷ ἐνόσῳ καιρῷ ὑπῆρχεν ἐν τῷ βάρει τοῦ ἀφορισμοῦ, ἄνδρες τε καί γυναῖκες καί οἱ δουλεύσαντες εἰς τά πράγματα καὶ κτήματα αὐτοῦ, συγκεχωρημένοι καί αὐτοί καί εὐλογημένοι ἀπό Θεοῦ καί λελυμένοι τοῦ ἀφορισμοῦ ...».*

## 211

1620-1639. Νοταριακή πράξη. Χάνδακας.

Γ. Μαυρομάτης, *Ἀνέκδοτα βενετικὰ ἔγγραφα γιὰ τοὺς Κορνάρους τῆς Σητείας καὶ τοῦ Χάνδακα (Διαθῆκες μελῶν τῆς οἰκογενείας τοῦ Ἰακώβου Κορνάρου)*, Ἀθήνα 1986, σ. 37-119, αρ. 1-11α.

## 212

1621. Αιρετοκρισία και πληρεξούσιο. Ζάκυνθος.

Λ. Ζώης, *Ὁ Ἅγιος Διονύσιος προστάτης Ζακύνθου*, Ζάκυνθος 1895, σ. 32-33, 39-40.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ